λάκις εὐπραγιῶν ὀνειδίζεται, αὕτη δέ, κἂν ὅλας τὰς βασιλείας τοῦ κόσμου τις αὐτῇ προσαγάγῃ, οὔτε πτοεῖται οὔτε ὅλως τῶν δεινῶν βελῶν τῆς ἁμαρτίας αἰσθάνεται· πνευματικὴ γὰρ ὅλη ὑπάρχουσα ἀγνοεῖ πάντως τὰς σωματικὰς δόξας. Ἐχρῆν δὲ δι᾿ ἐκείνης παντὶ τρόπῳ παρελθόντα τὸν ἀγωνιστὴν ἐπὶ ταύτην ἐλθεῖν· εἰ μὴ γὰρ δι᾿ ἐκείνης τῇ ἐπιφορᾷ τῶν παιδευτικῶν παθῶν δοκιμαστικῶς, οὐ γὰρ ἀναγκαστικῶς, τὸ αὐτεξούσιον ἡμῶν προμαλάξοι ἡ χάρις, οὐκ ἂν τὴν ταύτης ἡμῖν δωρήσηται πολυτέλειαν.

ϛϛ'.

Οἱ τῶν τοῦ παρόντος βίου ἡδονῶν ὄντες φίλοι ἐκ τῶν λογισμῶν ἐπὶ τὰ πταίσματα ἔρχονται· ἀδιακρίτῳ γὰρ γνώμῃ φερόμενοι πάσας αὐτῶν σχεδὸν τὰς ἐμπαθεῖς ἐννοίας εἴς τε λόγους ἀνόμους καὶ ἔργα ἀνόσια ἐπιθυμοῦσι φέρειν. Οἱ δὲ τὸν ἀσκητικὸν ἐπιχειροῦντες κατορθοῦν βίον ἐκ τῶν πταισμάτων εἰς τοὺς πονηροὺς λογισμοὺς ἢ εἰς πονηρά τινα καὶ ἐπιβλαβῆ ἔρχονται ῥήματα. Ἐὰν γὰρ οἱ δαίμονες τοὺς τοιούτους ἢ λοιδορίας ἀνεχομένους ἡδέως ἢ ἀργά τινα καὶ ἄκαιρα ὁμιλοῦντας ἢ γελῶντας ὡς οὐ δεῖ ἢ θυμουμένους ἀμέτρως ἢ τῆς κενῆς καὶ ματαίας ἐπιθυμοῦντας ἴδωσιν δόξης, τότε ὁμοθυμαδὸν κατ᾿ αὐτῶν ἐξοπλίζονται· τὴν γὰρ φιλοδοξίαν μάλιστα εἰς πρόφασιν τῆς ἑαυτῶν κακίας λαμβάνοντες δι᾿ ἐκείνης ὥσπερ διὰ θυρίδος τινὸς σκοτεινῆς εἰσπηδῶντες τὰς ψυχὰς διαρπάζουσιν. Ἐχρῆν οὖν τοὺς θέλοντας συνδιαιτᾶσθαι τῷ πλήθει τῶν ἀρετῶν μήτε δόξης ἐφίεσθαι μήτε πολλοῖς συντυγχάνειν μήτε